ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Κυριακή Ζ' Ματθαίου

31 Ιουλίου 2022

Απόστολος – ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΙΕ' 1-7

Ἀδελφοί, ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ᾽ ἐμέ. Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς εἰς δόξαν Θεοῦ.

Απόστολος – Μετάφραση, ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΙΕ' 1-7

Αδελφοί, όσοι έχουμε δυνατή πίστη οφείλουμε να ανεχόμαστε τις αδυναμίες αυτών που έχουν αδύναμη πίστη, και να μην κάνουμε ό,τι αρέσει σ'εμάς. Η συμπεριφορά του καθενός μας να είναι αρεστή στον πλησίον, ώστε να τον βοηθάει να προκόβει στο αγαθό κι έτσι να συντελεί στην οικοδομή της εκκλησίας. Άλλωστε, κι ο Χριστός δεν έζησε για να ευαρεστήσει τον εαυτό του, αλλά, όπως λέει η Γραφή, οι ύβρεις όσων σ' έβριζαν, Θεέ, έπεσαν πάνω μου. Να ξέρετε ότι όσα γράφτηκαν στις Γραφές, έχουν γραφτεί για να μας διδάσκουν. Έτσι, με την υπομονή και την ενθάρρυνση που δίνει η Γραφή, θα στηριχτεί η ελπίδα μας. Είθε ο Θεός, που χαρίζει την υπομονή και την ενθάρρυνση, να σας δώσει την ομόνοια σύμφωνα με το θέλημα του Ιησού Χριστού. Έτσι, όλοι μαζί με μια φωνή θα δοξάζετε το Θεό, τον Πατέρα του Κυρίου μας Ιησού Χριστού. Να δέχεστε ο ένας τον άλλο, όπως δέχτηκε κι εσάς ο Χριστός, για να δοξάζεται ο Θεός.

Ευαγγέλιο - ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ Θ' 27-35

Τῷ καιρῷ ἐκείνῳ, παράγοντι τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον ἡμᾶς, υἱὲ Δαυΐδ. Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· ναί, Κύριε. Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· ὁρᾶτε μηδεὶς γινωσκέτω. Οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον· καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός, καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. Οἱ δὲ Φαρισαῖοι ἔλεγον· ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ Θ' 27-35

Εκείνο τον καιρό, όταν προχώρησε ο Ιησούς τον ακολούθησαν δύο τυφλοί, που φώναζαν κι έλεγαν: «Σπλαχνίσου μας, Υιέ του Δαβίδ!» Κι όταν έφτασε στο σπίτι, πήγαν κοντά του οι τυφλοί, και ο Ιησούς τους λέει: «Πιστεύετε πως μπορώ να το κάνω αυτό;» Του λένε: «Ναι, Κύριε». Τότε άγγιξε τα μάτια τους και είπε: «Όπως το πιστεύετε να σας γίνει». Κι ανοίχτηκαν τα μάτια τους. Τότε ο Ιησούς τους πρόσταξε λέγοντας: «Προσέξτε να μην το μάθει κανένας». Αυτοί όμως, μόλις βγήκαν έξω, διέδωσαν τη φήμη του σ' όλη την περιοχή εκείνη. Ενώ έβγαιναν έξω οι δύο τυφλοί, του έφεραν έναν κωφάλαλο δαιμονισμένο. Μόλις έδιωξε το δαιμόνιο, μίλησε ο κωφάλαλος. Κι ο κόσμος θαύμασε και είπε: «Ποτέ ως τώρα δεν είδαν οι Ισραηλίτες τέτοια πράγματα!» Οι Φαρισαίοι όμως έλεγαν: «Με τη δύναμη του άρχοντα των δαιμόνων διώχνει τα δαιμόνια». Ο Ιησούς περιόδευε σ' όλες τις πόλεις και στα χωριά, δίδασκε στις συναγωγές τους, κήρυττε το χαρμόσυνο μήνυμα για τον ερχομό της βασιλείας του Θεού και γιάτρευε κάθε ασθένεια και κάθε αδυναμία στο λαό.

31 Ιουλίου 2022, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης